# ΑΥΤΗ ΗΙΣ
# Β ΦΥΛΛΑΔΑ ΕΙΝΑΙ ΤΟΥ

Ν. Κωνσταντινίδου.

Ἐγράφη τῷ 1899) Δεκεβρί[ου]
τελεῖται 18ῃ
μνήμη τοῦ ἐν ἁγί-
οις Πατρὸς ἡμῶν
Μοδέστου τοῦ θαυμα-
τουργοῦ.

Τῷ αὐτῷ Μηνὶ Δεκεμβρίου ΙΗ Μνήμην ἐπιτελοῦμεν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἱερομάρτυρος καὶ θαυματουργοῦ Μοδέστου Ἀρχιεπισκόπου Ἱεροσολύμων. Ἐν τῷ μεγάλῳ ἑσπερινῷ τὸ Μακάριος ἀνήρ· εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους. Η΄ Καὶ ψάλλομεν στιχηρὰ τοῦ ἁγίου. ἦχος Β.

Ποίοις εὐφημιῶν στέμμασι

Ποίοις εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν τὸν Ἱεράρχην, τὸν τῆς εὐσεβείας ὑπέρμαχον, καὶ τῆς ἀσεβείας ἀντίπαλον; τῆς ὀρθοδοξίας τὸν φωστῆρα. τὸν μέγαν Ἱεροσολύμων μυστολέκτην τε, καὶ θεῖον τοῦ μαρτυρίου ἀγαλλίαμα, τῶν ὀρθοδόξων τὸν στῦλον τοῦ φωτὸς τὸν λύχνον, τὸν ἀστέρα, τὸν φαεινόν, τὸν τὴν κτίσιν καταλαμπρύναντα, θαυμάτων ἀκτῖσι τὸν Μόδεστον.

Ποίοις πνευματικοῖς κάλλεσιν, στεφανώσωμεν μαρτύρων τὸ κλέος, καὶ Ἱεραρχῶν τὸ ἐγκαλλώπισμα, τῶν Ἱερομαρτύρων τὸ ἀκροθίνιον καὶ τῆς οἰκουμένης τὸν λαμπτῆρα. τὸν μέγαν θαυματουργὸν τὸν θεῖον Μόδεστον, τοῖς ζῶσι εὐρωστίαν τὸν παρεχόμενον, τοῦτον δὲ ὄντως ἀξίως ἀθανάτ

δόξης διαδήμασι στεφανοῖ, Χριστὸς ὁ θεὸς ἡμῶν, ὁ ἔχων τὸ μέγα ἔλεος.
Δεῦτε οἱ γηγενεῖς ᾄσμασιν, ἀνευφημήσωμεν Μόδεστον θεῖον. Τὸ τῶν μοναζόντων θεῖον ἔρεισμα, καὶ τῶν ἀθλητῶν τὸ σεμνολόγημα. Τῶν Χριστιανῶν τὸ μέγα τεῖχος, τὸν μέγαν θαυματουργὸν καὶ ἐντιμότατον, ἀνθρώποις καὶ κτήνεσι χαριζόμενον, τὴν ὑγείαν καὶ εὐρωστίαν, ἐν τῇ αὐτοῦ μνήμῃ, καὶ πταισμάτων ἄφεσιν, παρὰ Χριστοῦ καὶ μέγα ἔλεος.
Λόγος οὐχ ἱκανοὶ βροτείοις, τῶν θαυμάτων σου τὰς ἐκδόσεις ἐξυμνεῖν ἢ τῆς ἐννοιῶν σοφὲ Ἱερομάρτυς Μόδεστε, καὶ γὰρ ἄπειρος ἐστιν ὁ χόρος. Λυτροῦσαι ἐκ νόσων πάντας τοὺς ὑμνοῦντάς σε. Προφθάνεις τοὺς κτήνεσι πόνη προσκαλοῦντάς σε. Τῶν ζώων καὶ βοῶν, ἄγρυπνος φυλαδεύεις. Διὸ δέξαι καὶ ἡμῶν τῶν, ψυχῶν καὶ σωμάτων εὐρωστίαν τοῖς σε γεραίρουσιν.

Εἶτα στιχηρὰ ἦχος δ'.
ὡς γενναῖον ἐν μάρτυσι.

Ἱερέων ὁ σύλλογος, μοναζόντων τὸ σύστημα, δεῦτε εὐφημήσωμεν θείοις ᾄσμασι, Ἱεράθλον Μόδεστον, τὸ ἄνθος τῆς φύσεως, τῶν πιστῶν τὴν καλλονὴν, καὶ τὸν στύλον τῆς πίστεως, τὸν ἀκράδαντον, τὸν φυλάττοντα πάντας νοσημάτων, ἐκ παντοίων καὶ ποικίλων, βροτοὺς καὶ κτήνη ἐκ θλίψεων.
Καταλύσας τὰ πρόσκαιρα, ἐκ παιδὸς ὦ πάτερ, τῷ Χριστῷ προσέδραμες ἐνθέως τελέσας, καὶ ἀνυψώθης τοῖς θαύμασι, μυρίοις Πανόλβιε, καὶ εὐχῇ τὰς

τοῦ ναοῦ θύρας πάσας διήνοιξας, τοῦ Κυρίου σου, ὑπὲρ οὗ καὶ κολάσεις ἀφορήτους, καθυπέμεινας γενναίως, σὺ ὦ Παναγιε Μόδεστε.

Ἡγουμένην ταπείνωσιν, ἔχων Πάτερ τὸν Κύριον, ὄντως συνηνδόκησας ὦ μακάριε, Ἀρχιερέων θεόπνευστον, μαρτύρων τε καύχημα, καὶ ἐκ ταύτης ἔνθεε, ἰαμάτων χαρίσματα κατεπλούτησας, ἰατρεύειν τοὺς βόας καὶ ἀνθρώπους, ὡς συμπαθὴς καὶ ἐλεήμων, θεόφρον Μόδεστε ἔνδοξε.

Ῥοῇ πάτερ τοῦ αἵματος, τοῦ ἁγίου σου ἔπνιξας, εἴδωλα παμβέβηλα καὶ τοὺς ἄφρονας, ταῦτα σεβαστὰς καὶ ἥνεγκας, κολάσεις μυρίας τε, καὶ ἐδέξω ἐκ Θεοῦ, τὸν τῆς νίκης σου στέφανον, ὃν ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην σου.

Δόξα ἦχος πλ. β'.

Ἱεραρχῶν τὴν καλλονήν, καὶ τῶν Μαρτύρων κλέος, τῶν ἱερομαρτύρων τὸ καύχημα, τὴν βρύσιν τῶν θαυμάτων, τῆς οἰκουμένης τὸν ἀεὶ λαμπτῆ φωστῆρα. Τῶν ἀλόγων ζώων τὸν ἐπιμελητὸν τροφοδότην, καὶ τῶν ἀνθρώπων πρέσβυν πρὸς Κύριον, τὸν μέγαν Μόδεστον, δεῦτε εὐφημήσωμεν, ἐπαξίως ὦ φιλέορτοι. οὗτος γὰρ τῇ ἐνθέῳ πολιτείᾳ, τὸ ὀπτικὸν τῆς ψυχῆς καθηράμενος, ὄργανον γέγονε τοῦ ἁγίου Πνεύματος καὶ ἐδέξατο χάριν ἀέναον τοῦ ἰᾶσθαι τὰς νόσους ἀλόγων καὶ ἀνθρώπων ἱεράρχης γεγονὼς καὶ Μάρτυς Χριστοῦ ὑπὲρ ἀθλήσας. αὐτῷ καὶ ἡμεῖς βοήσωμεν, ἱερομάρτυς μέγιστε, πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός. Προεόρτιον.

Σπήλαιον εὐτρεπίζου, ἡ ἀμνὰς γὰρ ἥκει ἔμβρυον φέρουσα Χριστόν, φάτνη δὲ ὑποδέχου τὸν τῷ λόγῳ λύσαντα τῆς ἀλόγου πράξεως ἡμᾶς τοὺς γηγενεῖς. Ποιμένες ἀγραυλοῦντες, μαρτυρεῖτε θαῦμα τὸ φρικτόν, καὶ Μάγοι ἐκ Περσίδος, χρυσὸν καὶ λίβανον καὶ σμύρναν, τῷ Βασιλεῖ προσάξατε. Ὅτι ὤφθη Κύριος ἐκ Παρθένου μητρός, ὅνπερ καὶ κύψασα δουλικῶς ἡ μήτηρ προσεκύνησε, καὶ προσεφθέγξατο τῷ ἐν ἀγκάλαις αὐτῆς. Πῶς ἐνεσπάρης μοι, ἢ πῶς μοι ἐνεφύης, ὁ Λυτρωτής μου καὶ Θεός.

Εἴσοδος. Τὸ προκείμενον τῆς ἡμέρας.

Καὶ τὰ ἀναγνώσματα.

Παροιμιῶν τὸ ἀνάγνωσμα.

Μνήμη δικαίων μετ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος ὃς εὗρε σοφίαν καὶ θνητὸς ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν. Πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη. Νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει, αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐε-

μου ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων, ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν, ἐγὼ ἐπεκαλεσάμην, ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες, εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ, χείλη ψευδῆ μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου· οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν καὶ πλησθήσεσθε πνεύματος.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα

Τάδε λέγει Κύριος. Πάντα συνήχθησαν τὰ ἔθνη ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γένεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην. Ἵνα γνῶτε ἔθνη καὶ πιστεύσητε, καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται.

Ἐγὼ εἰμὶ ὁ Θεός, καὶ οὐκ ἔσται πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ἡμῖν ἀλλότριος· ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός. Ὅτι ἀπαρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος· εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς. Ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν λιτήν. ἦχος α'.

Λαμπρύνου λαμπρύνου, καὶ ἀγάλλου πόλις Ἱερουσαλήμ, τοιοῦτον ἔχουσα ποιμένα. Ὅσιον ἄκακον, καὶ τὸ αἷμα δορησάμενος τοῖς τυράννοις, ὑπὲρ τοῦ ἀμιάντου Ἀμνοῦ, εὐφραίνου καὶ πᾶσα τῶν πιστῶν ἡ ἐκκλησία ὡς ἔχουσα ἀληθῶς Ἱεράρχην, Μάρτυρα στεφηφόρον πρεσβευτὴν καὶ θαυματουργὸν ἄριστον, τὸν μέγαν Μόδεστον, τὸν πρεσβευτὴν τῶν ψυχῶν ἡμῶν.

Ὁ κλεινὸς καὶ σεπτὸς Μόδεστος, ὁ μέγας πατὴρ τῶν Ἱεραρχῶν καὶ τῶν ἀθλητῶν τὸ στήριγμα, ἐν τῇ ἐνδόξῳ μνήμῃ αὐτοῦ, οὓς πάντας συγκαλεῖται, πρὸς εὐωχίαν πνευματικήν. Τέθεικε γὰρ πανδαισίαν τὰ ὑπὲρ αὐτοῦ θαύματα. Κατατρυφῆσαι δαψιλῶς καὶ κορεσθῆναι ἐνθέως. δεῦτε οὖν φιλέορτοι, πανηγυρίσωμεν φαιδρῶς, καὶ πρὸς αὐτὸν ἐκβοήσωμεν. Μακαριώτατε Ἱερομάρτυς, ὡς ἔχων πρὸς αὐτὸν παῤῥησίαν, ὑπὲρ ἡμῶν τῶν σῶν ἱκετῶν, τῶν ἐν πίστει καὶ πόθῳ ἐκτελούντων, τὴν πανάοιδιμον μνήμην σου, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ἦχος β'.

Σὺν τοῖς ἀγγέλοις καὶ ἡμεῖς ὦ φιλέορτοι, σήμερον φαιδρῶς πανηγυρίσωμεν, ἐπὶ τῇ μνήμῃ τοῦ Ἱερομάρτυρος Μοδέστου, ὡς γὰρ ἀνέλαβεν ἐκεῖνοι τὸν ἐφάμιλλον ταῖς ἀρεταῖς οὕτω καὶ

ἡμεῖς τῶν ἰαμάτων ποταμοὺς οἱ πιστῶς προσφέροντες, τῷ πανσέπτῳ αὐτοῦ λειψάνῳ. Καὶ τῶν πταισμάτων ἄφεσιν, παρὰ τοῦ δοξάσαντος τοῦτον Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, εἰρήνην καὶ μέγα ἔλεος.

### Ἦχος. γ'.

Κροτήσωμεν χεῖρας, ἀνακράζοντες ἐν Θεῷ ἐπινίκιον ὕμνον ᾄδοντες, τῷ κοινῷ ἡμῶν Κυρίῳ τῷ παράσχοντι ἡμῖν τὸν μέγιστον ἐν ἱεράρχαις καὶ Μάρτυσι Μόδεστον, τῶν νόσων ἡμῶν ἀκέστορα, καὶ πρεσβευτὴν πρὸς αὐτὸν ὑπὲρ τῶν πίστει καὶ πόθῳ, τὴν πανηγύριν αὐτοῦ καὶ πάμφωτον ἑορτὴν ἐκτελούντων.

### Ἦχος πλ. β'.

Τῷ σθένει τοῦ ἁγίου Πνεύματος, ἱερομάρτυς Μόδεστε, ἡ ψυχή σου πτερωθεῖσα, τῶν αἰκισμῶν διέπλευσεν, ἀβρόχως τὸ χαλεπὸν κλυδώνιον καὶ περιχαρῶς κατέλαβε, λιμένας τοὺς ἐπουρανίους. Ὅθεν παριστάμενος τῷ θρόνῳ τῷ δεσποτικῷ, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν ἐκ πόθου τελούντων τὴν ἀεισέβαστον μνήμην σου, τῶν σωματικῶν ἀλγηδόνων ρυσθῆναι, καὶ τυχεῖν τῆς ἄνω δόξης, εὐπροσδέκτοις πρεσβείαις σου.

Ἦχος πλ. α'.

Ἡ παμφαὴς τοῦ ἱεροῦ Μοδέστου, χάρισι μνήμη ὡς ἥλιος τοῖς πέρασι, καὶ ἀπαύστως διαδουχεῖ τοῖς ἰάμασι νόσους ἀποσοβοῦσα ἀνθρώπων, καὶ πάθη κτηνῶν θεραπεύουσα. Ἱκετεύει γὰρ αἰεὶ ὡς ἰατρὸς παρεστηκὼς τῷ θρόνῳ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα ἦχος δ'.

Ὅτε τὴν αὐτοῦ ὁ Κύριος καὶ παντοδύναμος Χριστὸς ὁ Θεὸς ἡμῶν, πόλιν τὴν ἁγίαν ἠθέλησε, ἐπὶ νομαῖς ζωηφόροις πορεύεσθαι, θαύμασιν ἐφανέρωσε τοῦτο, πατὴρ ἡμῶν Μόδεστε. Ταῖς γὰρ ὕλαις τοῦ ναοῦ, εὐχῇ μόνῃ σὺ διήνοιξας καὶ τοῖς πᾶσι παρέστησας ὅτι σὺ ὁ μέλλει θεὸν ποιμὴν τοῦ Ἰσραήλ. Ὅτε δὲ πρὸς αὐτὸν ἠθέλησε λαβεῖν σε παμμακάριστε, διὰ μαρτυρίου κυδαίνειν, ὡς δόξαν εὗρεν σε πρώτιστα παρ' αὐτῷ καὶ ἴσον γενέσθαι τῆς παρρησίας. Ὅθεν τῷ δὲ δισσῷ στέφει στεφανώσαντι ἱεραρχίας καὶ ἀθλήσεως, ὡς πρεσβεῖα παριστάμενος πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν ἦχος ὁ αὐτὸς προεόρτιον.

Βηθλεὲμ εὐτρεπίζου, ὕμνησον πόλις Σιών, ἀγάλλου ἡ ἔρημος.

προμνηστεύουσα τὴν χαράν· τότε γὰρ προέρχεται ἐν Βη-
θλεὲμ μηνύων, μέλλοντα τίκτεσθαι Χριστόν.
Καὶ σπήλαιον δέχεται, τὸν ἀχώρητον πάντη, καὶ φάτνη ἑτοί-
μασται, ὑποδέξασθαι ζωὴν τὴν αἰώνιον. Τούτῳ πάντες ᾄσωμεν
καὶ βοήσωμεν, σῶσον τὰς ψυχὰς ἡμῶν ὁ Θεὸς ὁ σαρκωθεὶς δι'
ἡμᾶς... Εἰς τὸν στίχον στ' προσόμοια. ἦχος α'. (Ἀπόστιχα)

Τῶν οὐρανίων ταγμάτων.

Ὡς ἱεράρχης Κυρίου τὴν διπλοΐδα φορῶν φοινίξας αἵμα-
σι σου εἰσελήλυθας χαίρων εἰς ἅγια ἁγίων ἐν Οὐρανοῖς, ἐξαι-
τούμενος ἄφεσιν, ἁμαρτημάτων καὶ λύσιν τῶν πειρασμῶν, τοῖς
ἐν πίστει σε γεραίρουσιν.

Στίχος. Οἱ ἱερεῖς Κύριε Ἐνδύσ.

Τῶν νοσημάτων ἐδείχθης φυγαδευτὴς ἐν Χριστῷ, καὶ ἰατρὸς
τῶν ζώων, τῶν σε παρακαλούντων Μόδεστε παμμάκαρ, ὅθεν
καὶ νῦν, τὴν ὑγείαν παρέδειξας ἡμῖν τοῖς πόθῳ τελοῦσι σου
τὴν σεπτήν, καὶ ἱερὰν μνήμην ἔνδοξε.

Στίχος. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ἐν τοῖς ἀγώνων ἱδρῶσι, τοῦ μαρτυρίου σοφέ, τὴν ὑψηλὴν
καθέδραν, τῶν ἱεροσολύμων, κοσμήσας εἰσεδέξω παρὰ Θεοῦ,
χάριν παύειν νοσήματα, καὶ λύσιν πᾶσαν ἐξαίρετον
ἐκ τῶν κτηνῶν, καὶ ἀνθρώπων πάτερ Μόδεστε....

Δόξα ἦχος γ'.

Σήμερον ἡ φωταυγὴς ἀνέτειλε μνήμη σου, τρισμέγιστε Ἱερομάρτυς Μόδεστε, φωτίζουσα τὰς τῶν πιστῶν διανοίας ταῖς μαρμαρυγαῖς τῶν θαυμάτων σου. Ἐν ᾗ τῷ πανσέπτῳ σου συναθροισθέντες τεμένει, καθικετεύομεν κράζοντες. Λῦσον ταῖς σαῖς ἱκεσίαις τὰς σειρὰς τῶν πλημμελημάτων, τῶν ἀνυμνούντων σε πόθῳ πανεύφημε.

Καὶ νῦν. Ὁ αὐτὸς προεόρτιον.

Ἰωσὴφ εἰπὲ ἡμῖν πῶς ἐκ τῶν ἁγίων ἣν παρέλαβες Κόρην, ἔγκυον φέρεις ἐν Βηθλεέμ; ἐγὼ φησὶ τοὺς προφήτας ἐρευνήσας, καὶ χρηματισθεὶς ὑπὸ ἀγγέλου πέπεισμαι, ὅτι Θεὸν γεννήσει ἡ Μαρία ἀνερμηνεύτως. Οὗ εἰς προσκύνησιν Μάγοι ἐξ ἀνατολῶν ἥξουσι, σὺν δώροις τιμίοις λατρεύοντες. Ὁ σαρκωθεὶς δι' ἡμᾶς Κύριε δόξα σοι. Τὸ νῦν ἀπολύεις καὶ ἀπολυτίκια τοῦ ἁγίου.

Ἀπολυτίκιον ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ὁσίως τὸν βίον σου, διαπεράνας σοφέ, προσῆλθες κεκοσμημένος ἱερωσύνῃ φαιδρῶς, ἱερόαθλε Μόδεστε. Ὅθεν καὶ ἐναθλήσας, προσδεκτότατε πάτερ, νῦν ἐν ἀγαλλιάσει, τῷ Χριστῷ συναγάλλῃ, πρεσβεύων ὑπὲρ πάντων ἡμῶν τῶν εὐφημούντων σε.

Δόξα ἕτερον ἦχος γ'. θείας πίστεως.

Θείας πράξεσι πεπυκασμένος καὶ ταῖς χάρισι πεφωτισμένος, ἱεραρχῶν τὸ σεπτὸν ἀκροθίνιον, καταφαιδρύνεις τὴν ἤπειρον ἅπασαν, μαρμαρυγαῖς τῶν ἀστέρων θαυμάτων σου, Μόδεστε ἱεράρχα, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν θεοτοκίον. Σὲ τὴν μεσιτεύσασαν:

Εἰς τὸν ὄρθρον μετὰ τὴν α'. στιχ. ἦχος α'.

Χορὸς ἀγγελικός.

Θαυμάσιος ποιμὴν εὐσεβῶς ἀνεδείχθης, μαρτύρων ὁ στερρὸς ἱεράρχα παμμάκαρ. Φωτίζεις γὰρ ἅπαντας τῶν θαυμάτων λαμπρότησιν. Ὅθεν σήμερον οἱ εὐσεβείᾳ καὶ πόθῳ ἑορτάζοντες, ἐκ τῶν κινδύνων ἀπάντων, αἰτοῦμεν λυτρώσασθαι.

Δόξα ἕτερον τὸν τάφον σου σωτήρ.

Εὐφραίνου ἡ Σιών, ἡ ἁγία· ἰδοὺ γὰρ ἐπέφανέ σοι νῦν συμποιμένος

Μοδέστου, ἡ ἔνδοξος ἄθλησις, τοὺς πιστοὺς καταυγάζουσα. Ὅθεν σκίρτησον, μετὰ ποιμένων Βάσσαι, δόξης στέφανος σύ τοῦ ποιμένος μου πέλεις, δεῖ ὑπεράγαθε.

Καὶ νῦν. Ὁ αὐτὸς προεόρτιον.

Ἀγάλλου ἡ Σιών, Βηθλεὲμ εὐτρεπίζου. ὁ πάντων συνοχεὺς τὸν ἀστέρα προπέμψας, ἐμήνυσε τὴν ἄμετρον ἑαυτοῦ συγκατάβασιν. Οἱ γὰρ τρέμουσι, τῶν οὐρανῶν αἱ δυνάμεις ὄντως ἔρχεται, ἐκ τῆς Παρθένου τεχθῆναι, ὁ μόνος φιλάνθρωπος.

μετὰ τὴν β΄. στιχολογίαν κάθισμα ἦχος πλ. α΄.
τὸν συνάναρχον λόγον.

Τὴν πανήγυριν πάντες ἱερομάρτυρος, τοῦ ἐκδιδάξαντος πάντας τὴν σωτηρίαν ἡμῶν, εὐφημήσωμεν φαιδρῶς ἀγαλλόμενοι. Ὅτι ὡδήγησε πολλοὺς προσελθεῖν εἰς τὸν Χριστόν, καὶ θάνατον ὑπομεῖναι, καὶ κληρῶσαι τὴν βασιλείαν, ἐν τῇ ἐνδόξῳ παρουσίᾳ αὐτοῦ.

Δόξα ἕτερον ἦχος δ΄.
ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Ἱερωσύνης τῷ φωτὶ διαλάμπων, ἐφωταγώγησας λαοὺς ἱεράρχα, τὸ τῶν εἰδώλων σκότος τε ἠφάνισας, αἴγλῃ ἰαμάτων δὲ τῶν παθῶν τὴν ὁμίχλην λύσας μετατέθεικας πρὸς τὸ ἄδυτον φέγγος, ὑπὲρ ἡμῶν πρεσβεύων ἐκτενῶς τῶν σὲ τιμώντων ἀοίδιμε Μόδεστε.

Καὶ νῦν ὁ αὐτός προσόμοιον.

Ταχὺ προκατάλαβε.

Παρθένοι δοξάσατε τῇ τῆς Παρθένου χαρᾷ, μητέρες αἰνέσατε τὴν προσφορὰν τῆς μητρὸς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· καὶ γὰρ σὺν τοῖς ἀγγέλοις σὺν ἡμῖν οἰκουμένης ἔρχεται γὰρ ἐν δόξῃ, ἐνδείξεσθαι τοῦ γεννῆσαι αὐτῇ τοῖς οἰκτιρμοῖς σῶσον Χριστὲ τὸν κόσμον σου ἡμᾶς ὁ Θεός.

Ὁ μετὰ τὸν πολυέλεον κα. ἦχος πλ. δ'

Τὴν σοφίαν καὶ Λόγον.

Ὡς ἀκτῖνας ἐνθέρμους ὥσπερ ἡμῖν τῶν θαυμάτων τὴν ἔλαμψιν τηλαυγῶς, ἡ χάρις γὰρ τοῦ Πνεύματος Ἀποστόλους ὡς ἔπλησε, καὶ σαφῶς σε Μάκαρ, ὦ πανόλβιε Μόδεστε, ὡς ἐκείνων μύστην καὶ Χριστοῦ θεῖον μάρτυρα. Ὅθεν δυσωποῦμεν μὴ βραδύνῃς παμμάκαρ, ἡμᾶς πάσης θλίψεως ὡς ταχέως ῥύσασθαι τῇ πρὸς Θεὸν πρεσβείᾳ σου, πρεσβεύων ἀπαύστως Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα ἕτερον ἦχος δ'.

ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Ἡ ἱερά σου καὶ πάντιμος μνήμη, πεποικιλμένη ποικιλίᾳ χαρίτων, πάντας πιστοὺς φαιδρύνουσα ἀνέτειλεν ἰδού, οὕσπερ

καὶ συνάξασα τῷ σῷ θείῳ τεμένει, ὅπου σοι παρίστανται, ἐντρυφῆσαι ποθοῦντες ἀειθαλεῖς καρποὺς ὑπερφυῶν καὶ παραδόξων θαυμάτων σου Μόδεστε.

Καὶ νῦν. Ὅμοιον προεόρτιον.

Νῦν πληροῦνται προφητῶν αἱ προρρήσεις, ἡ Θεοτόκος Μαρίαμ γὰρ ἐνέστη, ἀποτεκεῖν βροτῶν τὴν ἀπολύτρωσιν. Ἄνωθεν προστρέχουσιν οὐρανῶν αἱ δυνάμεις, δόξαν ἀναπέμπουσαι, δι' ἡμᾶς τῷ τεχθέντι, καὶ βασιλεῖς προτρέχοντες περσῶν, αὐτῷ σὺν δώροις προσπεσεῖν γινόμενοι.

Οἱ ἀναβαθμοί τὸ α'. ἀντίφ. τοῦ δ'. ἤχου.

Προκείμενον. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

στίχος. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων.

Εὐαγγέλιον. τοῦ Χρυσοστόμου. ὁ Ν;

Δόξα. Ταῖς τοῦ Ἱεράρχου πρεσβείαις;

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις.

Τὸ Ἰδιόμελον. ἦχος πλ. β'. Ἐλέησόν με ὁ Θεός.

Δεῦτε πιστοί, χορείαν συγκροτήσαντες ἐπὶ τῇ μνήμῃ τοῦ Ἱερομάρτυρος Μοδέστου, ᾀσμάτων ἐγκωμίοις αὐτὸν καταστέψωμεν, οὗτος γὰρ τῶν τυράννων τὸ θράσος καταβαλὼν καὶ τὴν πλάνην τῶν Ἰουδαίων καταισχύνας, αἵμασι μαρτυρικοῖς τὴν ἀρχιερατικὴν στολὴν κατελάμπρυνεν. Αὐτὸν οὖν καὶ

ἡμεῖς, ὡς παῤῥησίαν ἔχοντα πρὸς Κύριον, μεσίτην πρὸς αὐτὸν προσάξωμεν, καὶ πρέσβυν προβαλλώμεθα ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Σῶσον ὁ Θεὸς τὸν λαόν σου καὶ εὐλόγησον.

Ὁ Κανὼν τῆς Θεοτόκου μετὰ τῶν εἱρμῶν. εἰς ς'.

Καὶ τοῦ ἁγίου, οἱ δύο, εἰς η'.

Ὁ Κανὼν τῆς Θεοτόκου. Οὗ ἡ ἀκροστιχίς.

Ὠδὴ α'. ἦχος πλ. δ'. ὁ Εἱρμός.

Ἁρματηλάτην Φαραὼ ἐβύθισε, τερατουργοῦσά ποτε, Μωσαϊκὴ ῥάβδος, σταυροτύπως πλήξασα, καὶ διελοῦσα θάλασσαν. Ἰσραὴλ δὲ φυγάδα, πεζὸν ὁδίτην διέσωσεν, ᾆσμα τῷ Θεῷ ἀναμέλποντα.

Τὴν σηπεδόνα τῆς ψυχῆς μου ξήρανον, καὶ τῶν τραυμάτων οὐλὰς δραστικῷ φαρμάκῳ, τοῦ υἱοῦ σου Πάναγνε, εἰς σὲ γὰρ τὴν ἐλπίδα μου, ἀνατίθημι πᾶσαν, καὶ σὲ μεσίτην προβάλλωμαι, πρὸς τὸν σὸν υἱὸν ὁ ἀνάξιος.

Ἠμελημένως καὶ ῥαθύμως δέσποινα, ὅλον τὸν βίον ἐγώ, καταδαπανήσας τὸν ἐμὸν ὁ ἄσωτος, εἰς ἐμαυτὸν γενόμενος, τῇ σῇ σκέπῃ προστρέχω, καὶ μετὰ πίστεως κράζω σοι, σῶσόν με, πρεσβείαις σου Πάναγνε.

Ὑπὲρ τὴν ψάμμον ἀληθῶς ἠρίθμηνται, αἱ ἀνομίαι μου νῦν, καὶ αἱ ἁμαρτίαι, ἃς ἀναιδῶς ἔπραξα καὶ ἐμαυτὸν ἐμόλυνα, καθυβρίσας ὁ τάλας τὸ κατ' εἰκόνα καὶ γέγονα τῶν ἀνόμων ἐργαστήριον.

Προσπεφευγότα νῦν εἰς σὲ σὺν δάκρυσι καὶ ἐν πολλῷ στεναγμῷ καὶ καρδίας θλίψει μὴ παρίδῃς δέομαι, ἀλλὰ τῇ μεσιτείᾳ σου, ἐν ἡμέρᾳ τῆς δίκης, τὸν σὸν υἱὸν ἐκδυσώπησον, ὅπως λυτρωθῶ τῆς κολάσεως.

Ὁ Κανὼν τοῦ ἁγίου. —

Ὠδὴ α΄. ἦχος καὶ εἱρμὸς ὁ αὐτός.

Τὴν κυκλουμένην ἑπταχῶς καὶ ῥέουσαν ἑβδόμην πρόσκαιρον διαδρομὴν πάτερ, τὴν ὀγδόην ἔφθασας ἡμέραν τοῦ τὴν μέλλοντος. Ὅθεν ὄγδοον ἦχον, τοῦτόν σοι πλέκοντα, ῥῦσαι τῶν ἐν τῇ ὀγδόῃ κολάσεων.

Ὑπεραρθεὶς τῆς ἀπαθείας πτέρυξι, τῶν χαμαιζήλων παθῶν, καὶ τὸ παχὺ σκῆνος καὶ βαρὺ ἐφόλκιον, γεώτονας μάκαρ ἀποθέσθε, καὶ κουφίσας ἐδείχθης σταδιοδρόμος οὐράνιος, εὐσταλὴς καὶ κοῦφος καὶ εὔζωνος.

Τὸν δι' ἡμᾶς τὸ καθ' ἡμᾶς φορέσαντα, ὁμολογήσας Χριστὸν, υἱὸν Θεοῦ ζῶντος θεολόγῳ γλώττῃ σου τῶν τυραννούντων ἔμπροσθεν, πεῖραν πλείστων βασάνων, καὶ τέλος θάνατον ἀποθέσθε, ἤνεγκας ψυχῆς γενναιότητι.

Θεοτοκίον.

Ἀκαταπαύστοις καθ' ἡμῶν ἐπέχρητο ὁρμαῖς ὁ δόλιος. Ἀλλὰ τῷ σῷ τόκῳ προσεγγίσας ἥψατο καὶ προσβαλὼν κατηράγηται, θεοτόκε παρθένε, ζωὴν γὰρ ὄντως ἀΐδιον, σεσωματωμένην γεγέννηκας.

Έτερος Κανὼν τοῦ ἁγίου. Φέρει ἀκροστιχίδα. Τὴν δὲ χέρσοις Μοδέστῳ, μαρτύρων μέλπω κλέος. Συνεσίου ᾠδή.

Ὠδὴ α΄ ἦχος α΄ Χριστὸς γεννᾶται δοξάσατε.

Χριστὸς κελεύει δοξάσωμεν, Μαρτύρων ἀξιάγαστον Μόδεστον. Χριστὸς ἐπὶ γῆς ἀνύψωσε, θαύματα ἐκτελοῦντα πᾶσιν ἐν γῇ. Ὃν δοξολογοῦντες ἀνυμνήσωμεν φαιδρῶς, ὅτι ἠρίστευσεν.

Ἑβραίοις προσπαίζει Μόδεστος, μαρτύρων ἀξιάγαστος πέφυκεν. Αὐτὸς ἐπὶ γῆς κατήσχυνεν, ἅπαντας τῶν εἰδώλων προσκυνοῦντας, καὶ ἐν εὐσεβείᾳ, ἐστήριξε λαοὺς ὅτι νενίκηκεν.

Ρομφαία δίστομος πέφυκε, φαιδρῶς τοὺς βλασφημοῦντας ἐκτέμνουσα· Χριστὸν ἐπὶ γῆς ἐπέφανεν, ἅπαντας προσλατρεύειν, μόνον Θεὸν καὶ ἐν τῇ ᾠδῇ, ἀνυμνεῖται εὐσεβῶς ὅτι δεδόξασται.

Ὀρθῶς σαφῶς ἐδογμάτισε, Χριστὸν ἐκ τοῦ Πατρὸς καὶ συνάναρχον, καὶ μόνον Θεὸν ἐκήρυξεν, ἅπασι τοῖς ἐν κόσμῳ διασαφῶν, καὶ ἐν τῇ μελλούσῃ, ἀνεγείρει τοὺς βροτοὺς ὅτι ἡγίασται.

Θεοτοκίον.

Ἰδεῖν ἐρήμους πᾶσαν γῆν, λυτροῦσθαι ἐξ ἀνάγκης καὶ θλίψεως· δέομαι θερμῶς βοῶντα σοι, λύτρωσαι ὦ Παρθένε πάντων δεινῶν, ὅτι σὺ καὶ μόνη, ἱκετεύω ἀκραιφνῶς ὅτι ηὐλόγησαι.

## Καταβασία.

Χριστὸς γεννᾶται δοξάσατε, Χριστὸς ἐξ οὐρανῶν ἀπαντήσατε· Χριστὸς ἐπὶ γῆς ὑψώθητε. Ἄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ καὶ ἐν εὐφροσύνῃ, ἀνυμνήσατε λαοὶ ὅτι δεδόξασται.

### ᾨΔ. Γ. ὁ εἱρμός.

Ὁ στερεώσας κατ' ἀρχὰς τοὺς οὐρανοὺς ἐν συνέσει, καὶ τὴν γῆν ἐπὶ ὑδάτων ἑδράσας, ἐν τῇ πέτρᾳ με Χριστέ, τῆς Ἐκκλησίας στήριξον, ὅτι οὐκ ἔστι πλήν σου, ἅγιος μόνε φιλάνθρωπε.

Ἐμῶν δακρύων σταλαγμοὺς (καὶ στεναγμοὺς) (ταῖς καρδίαις καὶ χειρῶν ἐπάρσεις καθορῶσα συμπαθῶς, ἀντίληψον τὸν δοῦλον, καὶ γὰρ οὐκ ἔχω πλήν σου δέσποινα ἄλλην βοήθειαν.

Ῥᾳδίαν φύσιν τὴν ἐμὴν γινώσκουσα θεοτόκε, καθ' ἑκάστην ὀλισθαίνουσαν οἴμοι, πρὸς τὰ χείρω ἀκρατῶς. Ἀντιλαβοῦ μου, σῶσόν με, καὶ γὰρ οὐκ ἔχω πλήν σου, δέσποινα ἄλλην βοήθειαν.

Ἀπρονοήσας ἐμαυτόν, εὑρίσκω πάντας ἀνθρώπους, ὑπερβὰς ταῖς ἀνομίαις ὁ τάλας, καὶ ποῦ φύγω ὁ δεινός, εἰμὴ πρὸς σὲ τὴν εὔσπλαγχνον, καὶ γὰρ οὐκ ἔχω πλήν σου, δέσποινα ἄλλην βοήθειαν.

Γυμνὸς καὶ ἔρημος εἰμί, καὶ πάντων ἐστερημένος,

τῶν κακῶν ὧν ἐσυγχύθην ὁ τάλας τῇ κακίστῃ συμβουλῇ. Ὅθεν πρὸς σὲ κατέφυγον· καὶ γὰρ οὐκ ἔχω πλὴν σοῦ Δέσποινα ἄλλην βοήθειαν.

**Ν**ενευρωμένος τοῦ Χριστοῦ, τοῦ μακαρίου δυνάστου, δυναστείᾳ συναλλεῖ καὶ τῷ ὅπλῳ, ὡπλισμένος τοῦ σταυροῦ, τὴν κεφαλὴν διέκοψας, τοῦ δυσμενοῦς δυνάστου ὡς ἐν εὐτάξει πενέφηκε.

**Ν**αμάτων θείων ποταμοί, πεπληρωμένος ὡράθης, ζωηρῶν πνευματικῶν χαρισμάτων, ἐκ σκιῶν ὡς ἐξ ἐδέμ, ἐξορμημένος Μόδεστε, καὶ νοερῶς κατάρδων, τῆς ἐκκλησίας τὰς αὔλακας.

**Γ**νῶσιν τῶν ὄντων ἐσχηκώς, τοῦτο γὰρ ὅρος σοφίας φιλοσόφως κατωρχήσω τῶν τῇδε, τὸ πολίτευμα τόσον, ἐν οὐρανοῖς κεκτημένος· δι' ὃ ἐπουρανίου ἔτυχες μακαριότητος. **Θεοτοκίον.**

**Μ**ῶμος ἐν σοὶ καὶ μολυσμός οὐκ ἔστιν ὅλως Παρθένε, ἐνδιαίτημα δὲ μᾶλλον ἐφάνης, οὐρανίων ἀρετῶν. Ἐν σοὶ γὰρ κατεσκήνωσε τῶν ἀρετῶν ἡ πᾶσα, ἁγιωσύνη ἡ [illegible].

Ἄλλος.

τῷ πρὸ τῶν αἰώνων.

**Σ**τῶμεν εὐαρέστως, ὡς λαμπρῶς ἀνυμνοῦντες τὸν Μόδεστον νῦν, τὸν τῶν εἰδώλων καθελέτην, καὶ μαρτύρων ἀρέωτην· σαφῶς καὶ θερμῶς βοήσωμεν, ὁ στηρίξας τὸ σέβας ἡμῶν ἅγιος εἶ Κύριε.

Μέγας ἐν σοφίᾳ καὶ πολὺς τῶν θαυμάτων ὁ Μόδεστος ἦν, τὸν βασιλέα καταισχύνας, ὡς εἰδωλολατροῦντα λαμπρῶς, καὶ τρανῶς ἐβόησεν· ὁ σαρκωθεὶς Χριστὸς μόνος θεός, ἅγιος εἶ Κύριε.

Ὁ τῆς προστασίας μετασχὼν τῆς τοῦ θρόνου λαμπρῶς, ἱερεὺς, τοὺς πρὸς φθορὰν καταγνωσθέντας, διαβόλου ἀπάτῃ, Χριστὸν πρὸς αὐτὸν καλῶς ὁδηγῶν· ὁ δι' ἡμᾶς καθ' ἡμᾶς ἐκβοᾷ· ἅγιος εἶ Κύριε.

Δαίμονας ἀνδρείως, καὶ λαμπρῶς ἀνακράτος ἐκνικᾷ, καὶ μετοχῇ τοῦ μαρτυρίου, ὑπεισδὺς θεῖον γνόφον, φωτὸς γεγονὼς πρεσβεύει Χριστῷ· ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, ἅγιος ὢν Κύριος.

Θεοτοκίον

Εὐφραινέσθω ἄπας, εὐσεβῶν γὰρ ἡ δόξα ἐξέλαμψε νῦν, ἐκ τῆς παρθένου γὰρ προῆλθε, χερουβὶμ ὁ ἐπόχων. διὸ καὶ ἡμεῖς θερμῶς ἐκ ψυχῆς νῦν ἀνακράξωμεν, σκέπασον ἡμᾶς πάντας ἐπαναπαύουσα.

Καταβασία.

Τῷ πρὸ τῶν αἰώνων, ἐκ πατρὸς γεννηθέντι ἀρρεύστως υἱῷ, καὶ ἐπ' ἐσχάτων ἐκ παρθένου, σαρκωθέντι ἀσπόρως, Χριστῷ τῷ θεῷ βοήσωμεν, ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, ἅγιος εἶ Κύριε.

Κάθισμα ἦχος δ'.
Ταχὺ προκατάλαβε.

Φαιδρύνας τὸν βίον σου, τῶν ἀρετῶν καλλοναῖς, ποιμὴν ἀνηγόρευσαι, καὶ Ἱεράρχης σεπτός, Πανένδοξε Μόδεστε, αἵματι μαρτυρίου, σεαυτὸν δὲ φοινίξας, ἄνω πρὸς τὰς ἀΰλους, μετετέθης χορείας, μεθ' ὧν ὑπὲρ ἡμῶν τὸν Χριστὸν πάντοτε ἱκέτευε.

ἕτερον ἦχος γ'.
Τὴν ὡραιότητα. Δόξα.

Ἐν τῇ ἐνθέῳ σου ζωῇ, θεόσοφε, πιστοὺς ἐπότισας, λόγοις καὶ θαύμασι. καὶ ἐν ἀθλήσει καρτερῶν, τοὺς τυράννους ἐξέπληξας. ὅθεν καὶ ἠξίωσαι, δωρεῶν τῶν τοῦ πνεύματος, πᾶσι νέμειν ἴασιν, τοῖς ἀνθρώποις καὶ κτήνεσι. διὸ σοῦ θεῖε Μόδεστε, τὴν μνήμην τελοῦντες, τὸν σωτῆρα δοξάζομεν.

Καὶ νῦν. Προεόρτιον. ὅμοιον.

Χαρᾶς πεπλήρωνται, πάντα τὰ πέρατα, ἡ Θεοτόκος γάρ, γενᾶν ἐπείγεται, τὸν βασιλέα τοῦ παντός. ὢ θαύματος ἀνεκφράστου! ἄρχεται ὁ ἄναρχος, καὶ σαρκοῦται ὁ ἄσαρκος, σπήλαιον εἰσδέχεται, τὸν συνέχοντα ἅπαντα, ἡ Βηθλεὲμ ἀγάλλου καὶ χόρευε, ἡ [illegible] ἡμέραν προεόρτιον.

ᾠδ. δ'. ὁ εἱρμός.

Σύ μου ἰσχύς, Κύριε σύ μου καὶ δύναμις, σὺ Θεός μου, σύ μου ἀγαλλίαμα, ὁ πατρικοὺς κόλπους μὴ λιπών, καὶ τὴν ἡμετέραν πτωχείαν ἐπισκεψάμενος. διὸ σὺν τῷ προφήτῃ Ἀββακοὺμ

σοί κραυγάζω· ἡ δύναμίς σου δόξα φιλάνθρωπε.

Νινευϊτῶν, τούς στεναγμούς τε καί δάκρυα, ὁ Υἱός σου, πάλαι προσδεξάμενος ἐπί ὀργήν τῶν ἁμαρτιῶν πᾶσαν τήν ἐκείνων ἀφῆκεν, ὡς φιλάνθρωπος· διό σέ ἱκετεύω, ἐξιλέωσαι τοῦτον, παραβλέψαι καί μου τά ἐγκλήματα.

Ὢ τῆς ἐμῆς φρενοβλαβείας Πανύμνητε, ὅτι θέλων, τοῖς κακοῖς συμπλέκομαι, ἀναισθητῶν ὅλως ἀμελῶν καί ἐν ματαιάζων τοῖς ἀνυπάρκτοις δόξαις· διό ὁδήγησόν με, πρός ὁδόν μετανοίας, ἐπιστρέφουσα καί συνετίζουσα.

Πανευλαβῶς πρός τήν εἰκόνα σου προσίσταμαι, τῆς ἀχράντου, τῆς σῆς Παναμώμητε, ἐν κλαυθμῶν καί παρακαλῶν μή με ἀποστρέψῃς, τοῦ σοῦ προσώπου τόν ἄθλιον, ἀλλ' οἴκτειρον καί σῶσον, ἐκ παντοίας με βλάβης καί κινδύνων καί πάσης κακώσεως.

Ῥῶσιν ψυχῆς ὁμοῦ καί σώματος δώρησαι, ἵνα πράττω, καί ποιῶ τό θέλημα, τοῦ σοῦ Υἱοῦ, φόβῳ καί χαρᾷ. καί γάρ ἰσχύεις, ὡς μήτηρ οὖσα τοῦ κτίστου σου, καί πράττεις ὅσα θέλεις, τοῖς ἐν πίστει καί πόθῳ τῇ εἰκόνι σου Κόρη προστρέχουσι.

Ὁ αὐτός.

Μόνον Χριστόν τῶν ἐφετῶν τό ἀκρότατον, ἐξ ἰσχύος ὅλης ἐπόθησας, ὅλον ὑπάρχοντα γλυκασμόν, ὅλον θυμηδίαν,

ὅλον ἀκόρεστον ἔχουσιν, ἀμήχανόν τε κάλλος· καὶ αὐτῷ τὴν ψυχήν σου διαπυρίῳ αἰσθήσει συνέδησας.

Νῦν εἰσελθὼν εἰς τὰ ἀπρόσιτα Ἅγια τῶν ἁγίων ὅπου πρώην πρόδρομος Χριστὸς εἰσῆλθεν ὑπὲρ ἡμῶν καὶ ἱερουργήσας· διακονίζονται ἅπαντα εἰς τὰ ἐπουρά-νια, καὶ ἀγγέλων αἱ τάξεις παρακαλοῦσι Χριστὸν εὐμενίζον ἡμῖν.

Ὡς ἀσφαλῶς τῷ θείῳ φόβῳ ῥυθμίσας σου τὰς αἰσθήσεις, καὶ παιδαγωγήσας σου, πρὸς ἀκροτάτην ὑψιοπήν, ἦλθες τῆς ἀγάπης, καὶ ἔξω φόβου γενόμενος, θεῷ συν-ανεκράθης διὰ τοῦ μαρτυρίου τῶν ποικίλων βασάνων ὦ Μόδεστε.

Θεοτοκίον

Νύμφην Θεοῦ σὲ καὶ μητέρα γινώσκομεν Θεοτόκε· γὰρ σὲ ὡς μυστικὸν θρόνον εὗρεν, λόγος τοῦ Θεοῦ θέ-λων ἐν κοιλάδι, τῇ ταπεινῇ ἀνθρωπότητι, ὁ ἀπαθής σου τοῦ κάλλους καὶ ἐκ σοῦ σαρκωθεὶς ὅλως προσελθών, τοὺς πιστοὺς ἐνθέωσεν.

Ἄλλος... Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.

Σώφρονος τῇ Ἱερουσαλήμ, ὁ Μόδεστος ἐκ τῆς Ποιμήν. ἡ μαρτυρία ἐχειροτόνησε. τῶν ὄντως ἀρχιερεύς. τοῦ σω-

Ἱερὸς ἐφάνη. ἦλθεν ἐκβοῶν ὡς βασιλέα. Χριστὸν ὄντα Θεόν, δόξα τῇ δυνάμει σου Κύριε:-

Τύπος γεγονὼς ἀρχιερεὺς καὶ πάσης τῶν βροτῶν Χριστοῦ. Ἐξ εὐσεβείας ἀνεκήρυξας, εἰκὼν καὶ μόνος Χριστοῦ, τοῦ ἀνάρχως φύσαντος· ἦλθε σαρκωθεὶς ἐξ ἀπειράνδρου, αὐτὸς δῆλον καὶ Θεός. δόξα τῇ δυνάμει σου Κύριε.

Ὢ τῶν ὑπὲρ νοῦν σου ἀγαθῶν, καὶ μᾶλλον τῶν μαρτυρικῶν, ὡς ἐκ Θεοῦ ἀρχιερατεύσας διδάσκων καὶ νουθετῶν, ἐκ τοῦ θείου πνεύματος, ἦλθες προφανῶς ἀνακρούττων, Χριστὸν τὸν μόνον Θεόν, δόξα τῇ δυνάμει σου Κύριε.

Μόδεστος ἀρχιερεὺς Σιών, καὶ μάρτυς ἐξ αὐτῆς Χριστοῦ, ἐπὶ τυράννων ἐστηλίτευσε τά εἴδωλα καὶ θεοὺς ὡς καθάρματα πάντα. ἦλθεν ἐκβοῶν ἀνεπιστρόφως, Χριστὸν ὄντα Θεόν· δόξα τῇ δυνάμει σου Κύριε.

## Θεοτοκίον.

Ἅμα συνανάρχῳ τῷ Πατρί, τῷ λόγῳ ἐξ αὐτοῦ Χριστῷ, αὐτῷ καὶ μήτηρ ἐχρημάτισας, ἐξ ὄρους σου καθαρῶς κατασκίου δασέως ἦλθε σαρκωθεὶς Θεοκυῆτορ. διό με σώζοις ἁγνή. δόξα τῇ κυήσει σου Δέσποινα.

## Καταβασία.

Ράβδος εκ της ρίζης Ιεσσαί, και άνθος εξ αυτής Χριστέ, Εκ της Παρθένου ανεβλάστησας εξ όρους ο αινετός, κατασκίου δασέως. ήλθες σαρκωθείς εξ απειράνδρου, ο άϋλος και Θεός. δόξα τη δυνάμει σου Κύριε.

ᾨδ! Ε! Ο Ειρμός.

Ίνα τί με απώσω από του Προσώπου σου το φως το άδυτον, και εκάλυψέ με το αλλότριον σκότος τον δείλαιον· αλλ' Επίστρεψόν με και προς το φως των εντολών σου. Τας οδούς μου κατεύθυνον δέομαι:

Όλος γέγονα φευ μοι τοις αθέσμοις πράξεσι και ανομήμασι, βορβορώδης. όλος και αισχρός αληθώς καταγνώριος, και μεμισημένος, υπό αγγέλων και ανθρώπων· αλλ' οικείοις μ' απότομον δαίμοσι:~

Συνεχόμενον πλήθοις Πειρασμοίς Παναχραντε κ' περιζάλεσι, πανταχόθεν οίμοι, κ' κλονούμενον ζάλαις κ' θλίψεσι, περιφρούρησόν με υπό την σκέπην σου την Θείαν, λυτρουμένη κ' σώζουσα Πάντοτε:~

Τη θερμή σου πρεσβεία, τη προς τον υιόν σου κεχρημένη Πάναγνε, υπέρ του αχρείου του πολλά εσφαλμένου οικέτου σου, όπως εύρω λύσιν αμαρτιών μου

Τόν σωτῆρα ἐδυσώπησον πρό τῆς ἐκτάσεως:~
Ρυομένη μή παύσῃ ἐξομολογούμενον τάς ἁμαρτίας μου, ὡς τάς ἀνομίας ἅς ὁ τάλας Ἐγὼ πώποτε ἠνόμησα· διά τοῦτο κράζω, ἐν στεναγμοῖς καρδιακῶς, μή ἀπώσῃ τόν δοῦλόν σου Δέσποινα:~

Ὁ αὐτός.

Γεωργός θεῖος ὤφθης, τέμνων τήν τῆς πίστεως θείαν αὔλακα, ἀνεφάνη Πλάνης ἐκ τῶν Εἰδώλων ἀρότρῳ σου, Λόγων καί ἀρούρας καλλιεργῶν κεχαρισμένας, εἰς τό δέξασθαι τόν σπόρον σου:~ :~

Ιατήρ μέγας ὤφθης, ἁπάσαν βροτῶν ἰώμενος ἀσθένειαν, καί κτηνῶν ἀλόγων, καί πατήρ ὀρφανῶν καί προστάτης χηρῶν, καί φωστήρ τοῖς ἐν σκότει λόγον ζωῆς παντί τῷ βίῳ καί δοτήρ ἀγαθῆς πάσης δόσεως:~

Ρόδον ὤφθης ἀνθῆσαν, ἔνδον τοῦ λειμῶνος Κυρίου ἀοίδιμε, Βεβαμμένον λύθρῳ, μαρτυρίου αἱμάτων καί ξίφεσι, συγκοπτόμενον καί ποιών ἀθλητικῶν φρυγέν καμίνῳ, ἱερόαθλε Μόδεστε ἔνδοξε:~

Θεοτοκίον

Ὡραιώδης Παρθένε, ὡς τόν ὡραιότατον Λόγον κυή-
σασα, ὅν ἀεί δυσώπει, οἰκτειρῆσαι λαόν ἁμαρτάνοντα
καί διατηρῆσαι δαιμονικοῖς ἀπάσης βλάβης, τόν εἰς σέ
Θεοτόκε ἐλπίζοντα.~ Ἄλλος.

Θεός ὤν εἰρήνης,

Ῥημάτων σοφίας πολλούς ὁδηγῶν, καί θαυμάτων
ἐπλούτησας ἔνδοξον τήν πίστιν παρεχόμενος ἐφώτισας
αὐτούς. Ὅθεν θεογνωσίας φαιδρῶς τετυχηκότες, καί λαμ-
πρῶς ὀρθρίζοντες, ἐδοξολόγουν τόν φιλάνθρωπον.~

Τυράννων τό θράσος, ὡς μή δεδιώς, ὡς λαμπρῶς καί
ἀρίστως ἐδίδαξας σοφίας ἐνυπόστατον τόν λόγον +
τοῦ Θεοῦ. Ὅθεν τῇ σῇ σοφίᾳ τρανῶς ἐκδιδαχθέντες
ἐκ νυκτός ἐφίσταντο, δοξολογοῦντες τόν φιλάνθρωπον.

Ὑμνῶν ἐφ' ὕμνοις ἀεί τόν Θεόν, διά θαύματος
πάντας ἐφείλκυσας εἰς πίστιν ἐπιπορευομένως ἐφώ-
τισας αὐτούς. Ὅθεν καί ἐπαξίως, φωτί καθοπλισ-
θέντες, πρός ζωήν ἐβάδιζον, ὑμνολογοῦντες τόν φι-
λάνθρωπον.~

Ῥομφαίαν δή καθῆκες, κεχ ἀσεβῶν ἐπιλόγοις
καί θαύμασι προσδέξετε, ὡς φλέγοντος ἐξάπαντος καρ-
δίας ἀπειδῶν. Διό καί βασιλείας ἐπέτυχες τρισμάκαρ,

καί λαμπρῶς ἐβάδισας, πρός τόν ποθούμενον τρισόλβιε:~

### Θεοτοκίον:~

Ὡς ὄντα εἰρήνης, πολλῶν οἰκτιρμῶν, τῆς μεγάλης βουλῆς δή τόν ἄγγελον σοφίαν καί θ' ὑπόστασιν ἐκύησας ἡμῖν. Ὅθεν καθικετεύω, πρός φῶς μέ ὁδηγήσοις, τόν δεινῶς ὀχλούμενον, δοξολογοῦντα σε ἀμόλυντε:~

### Καταβασία:~

Θεός ὤν εἰρήνης, πατήρ οἰκτιρμῶν τῆς μεγάλης βουλῆς σου τόν ἄγγελον εἰρήνην παρεχόμενον, ἀπέστειλας ἡμῖν. Ὅθεν θεογνωσίας, πρός φῶς ὁδηγηθέντες, ἐκ νυκτός ὀρθρίζοντες, δοξολογοῦμεν σε φιλάνθρωπε:~

### ᾨδή 5! Ὁ Εἱρμός.

Ἱλάσθητί μοι Σωτήρ, πολλαί γάρ αἱ ἀνομίαι μου. Καί ἐκ βυθοῦ τῶν κακῶν, ἀνάγαγε δέομαι. Πρός σέ γάρ ἐβόησα, καί ἐπάκουσόν μου ὁ Θεός τῆς σωτηρίας μου:~

Ἐγένοντο ψαλμικῶς αἱ ἀνομίαι μου Δέσποινα, ὡσεί φορτίον βαρύ, ἐπ' ἐμέ βαρυνόμεναι, καί ψυχῆς οἱ μώλωπες, δι' ἀφροσύνην προσώζεσαν καί ἐσάπησαν:~

Χρεωστικῶς τῷ ναῷ τῷ ἱερῷ σου προσέδραμον, καὶ ὡς οἰκέτης οἰκτρός, παρίσταμαι δέσποινα· δέξαι μου τὴν δέησιν, ὡς τῆς χήρας τότε, τὰ λεπτὰ Χριστὸς ὁ Κύριος.

Ὤ πῶς βαστάζει ἡ γῆ, ἐμὲ τὸν αὐτοκατάκριτον, τὸν παρὰ πάντας βροτούς ἀσώτως βιώσαντα· καὶ οὐ καταπίνει με, ἀπορῶ ὁ τάλας, ἀλλὰ σὺ εἶ διασώζουσα.

Κατάσβεσον ἀγαθή, τῷ δροσισμῷ τοῦ ἐλέους, τὰ βέλη τὰ κατ᾽ ἐμοῦ, δολίως κινούμενα, νυκτός καὶ ἡμέρας τε, τὰ πεπυρωμένα, τοῦ ἐχθροῦ τοῦ πολεμοῦντος με :~

Ὁ αὐτός.

Τὴν δέησιν ἐκχεῶ πρὸς κύριον.

Ρομφαία συμμαχητοῦ καὶ μάχαιρα ὤφθης δίστομος καὶ ἐξιλεωμένη καὶ δυνατοῦ βέλους ἠκονημένον, ἐπτερωμένον καὶ ῥοίζῳ φερόμενον. καρδίας γὰρ ἔτρωσας ἐχθρῶν, καὶ τεμένη εἰδώλων συνέκοψας :~

Ὡς ἄγγελος ἐπὶ γῆς ἀσώματος βίον ἔσχες ἀσωμάτων ἀγγέλων ἔτι τὸν χοῦν περικείμενος, μάρτυς καὶ ἐφολκίῳ τῆς ὕλης βαρούμενος. διὸ ἐλειτούργησας Θεῷ, ὡς οὐράνιος ἄγγελος Μόδεστε :~

Ναμάτων ζωοποιῶν ψυχοτρόφων, Ποταμός πεπληρω-
μένος ἐδείχθης, ἱερουργέ Πόος συνζόμενος ῥείθροις,
τοῦ Παναγίου τε Μόδεστε Πνεύματος. διό γλυ-
κυτάταις Προχοαῖς, ναμάτων τόν κόσμον κατήρδευ-
σας:

Ἰώμενος τῶν ἄνθρωπον τήν φύσιν, τῇ ἀρχαίᾳ πα-
ραβάσει φθαρεῖσαν δίχα φθορᾶς νέον τίκτεται
Βρέφος, καί σοῦ ἐν κόλποις, ὡς θρόνῳ καθέζεται,
ἀνύμφευτε τῆς Πατρικῆς, μή ἐκστάς συνεδρίας
Θεότητος:

Ναίων ἐν σιών Μόδεστος ἐνήθλησεν, ὁ τύραννος
Θήρ, τοῦτον ἐξαίτησε. τοῖς εἰδώλοις δέ προσκυνεῖ
ὁ τάλας τήν πλάνην κρατῶν. διελήλυθε κολάσεις
τοῦ ἀλάστορος. οἷς γάρ οὐχ ἡττήθη Μόδεστος, τόν
Θεόν ἐκδιδάσκων τρανώτατα:

Μόδεστος ἡμῖν θαύμασι κατήστραψεν. ἰσάγ-
γελον νοῦν οὗτος ἐξήσκησεν. Ἐν σοφίᾳ δέ ἐπανέστη
εἰδώλοις καί νίκην λαβών διελήλυθεν εἰδώλων
τά φρυάγματα. οἷς γάρ οὐχ ὑπεῖκε Μόδεστος,
Ἐκκλησίαν κατέσχεν ἀπήμαντον: . . .

Έσχες τήν σήν, Άναξ, καί ἐποίμανας οὐράνιον νοῦν, πάντας ἐδίδαξας τῇ Τριάδι ἀπονέμειν τό σέβας ὡς πάντων Θεῷ, καί κατήλεγξας εἰδώλων τήν ἀσθένειαν· οἷς γάρ ὑπάρχει αἴσθησις ὡς κωφοῖς καί αἰσχύνης ἀνάπλεω; —

Λάμψας ἐν σοί, Μόδεστε, ἐν μάρτυσιν Οὐρανός νοῦν τοῦτον ἐκάλεσεν. ὡς εἴδωλον δέ, καί ὑβρίσας τό σέβας καί πάντας αὐτούς. καί θαρρήσας ἐκβαίνεις ὁ Παμμάκαρ. οὐ γάρ οὐχ ἔγραψε Μόδεστος, ἀλλά ἴδιον, ἐραίνει ὑπέρτερος: —

!!! Θεοτοκίον !!!

Πάντων αἰσθῶν σκέπη καί βοήθεια, Μαρία ἁγνή, ὅπως με κράζοντα ἐν κινδύνοις σῶν· ἐν ὑπάρχω ὁ λύπαις φορτῶν χαλεπῶν. οὐδέ δύναμαι φυλάξαι τήν διάνοιαν. ὅθεν σοι προσπίπτω· ῥῦσαί με τοῖς οἰκτιρμοῖς σου Πάναγνε ἐκ θλίψεως.

Καταβασία.

Σπλάγχνων Ἰωνᾶν ἔμβρυον ἀπήμεσεν ἐνάλιος θήρ, οἷον ἐδέξατο. Τῇ Παρθένῳ δέ, ἐνοικήσας ὁ Λόγος καί σάρκα λαβών, διελήλυθε φυλάξας ἀδιάφθορον.

της γάρ ούχ' ύποστηριζόντως, τήν τιμούσαν
κατίσχειν άπήμαντον.!!!

Κοντάκιον. ήχος δ'. Ο ύψωθείς έν τω σταυρώ

Έν Ίεράρχαις άκριβώς διαπρέψας καί
μαρτυρικήν τήν όδόν διανύσας. Τά τών είδώλων
έσβεσας σεβάσματα πρόμαχος γενόμενος της
της ποίμνης Θεόδρου. διό σε καί γεραίρει νύν
μυστικώς Εύβοια. Έκ τών κινδύνων λύτρω-
σαι ήμάς ταίς σαίς Πρεσβείαις, άοίδιμε Μόδεστε.

Έτερον. ήχος γ'. Η Παρθένος σήμερον!!!

Ιακώβου μάκαρος, τού άδελφού τού Κυρίου, άρχι-
ερέων διάδοχον ώς καί τού θρόνου καί ζήλου όλεθρο-
μεν τήν θείαν κάραν σου ώς είδότες, κράζοντες μή
ύπερίδης τούς σούς οίκέτας τούς τήν μνήμην σου
τελούντας, Ίερέων καί μαρτύρων Μόδεστε Καύχημα.

Ο Οίκος:

Τών Ίερέων τό Έκλαμπρον κλέος, καί Μεγαλύνων
τήν Παντάνασσον δόξαν δεύτε πάντες έν ύμνοις
τών άσμάτων, Πιστώς Μόδεστον άνευφημήσωμεν.
Τόν γάρ έχθρόν ένίκησας Βελίαρ, έν άθλοις
σεπτοίς έμβριθής ήμίν άντί αίμάτων Ίερών Ίαμά-
των κρουνούς πάρεσχε ρεύματα, ταίς ψυχαίς τήν μνήμην
αύτού

αὐτοῦ τὴν ὑπέρλαμπρον, καὶ βοῶσι πρὸς αὐ-
τὸν μεθ' ζεούσης προθυμίας καὶ πίστεως· χαίροις
τῶν Ἱερέων καὶ Μαρτύρων Ἀπόστολε Καύχημα.

Τῷ αὐτῷ μηνὶ ιη'. Τοῦ ἁγίου ἐνδόξου
Ἱερομάρτυρος Μοδέστου ἀρχιεπισκόπου
Ἱεροσολύμων. τοῦ θαυματουργοῦ!

Στίχος. Φέρει Μόδεστε Παμμάκαρ τὸν τάφον.
Στίχος. Ἐν τὸν τάφον φέρουσι γῆ τοῦ Κυρίου.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις
Χριστὲ ὁ Θεός.
Ἐλέησον καὶ
σῶσον ἡμᾶς.
Ἀμήν.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

Οἱ ἐκ τῆς Ἰουδαίας καταντήσαντες Παῖδες
ἐν Βαβυλῶνι ποτέ, τῇ πίστει τῆς Τριάδος, τὴν
φλόγα τῆς καμίνου, κατεπάτησαν ψάλ-
λοντες· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.~

Ἀνακαίνισον τὸ ὄμμα τῆς ψυχῆς Παναγία τῆς
κελαυθώρου ἐμῆς, πρός σε γ' ἀνακράζω
ἐκπόθου τῷ υἱῷ σου τῷ σωτῆρι καὶ πλάστῃ
μου, ταῖς τῆς Μητρός σου χριστέ πρεσβείαις
διώρθωσόν με:~

Ἰαμάτων πελάγη, κεκτημένη Παρθένε ὡς κυο-
ῦσα Χριστόν, ἐπίχεε ἀφθόνως καὶ μοι τῷ σῷ οἰκέ-
τῃ ἀσθενοῦντι ῥανίδα σου, τῷ πανταχόθεν δεινῶς
ἐκλυομένῳ.

Παναγία Παρθένε, κατανύξεως δίδου τὴν πωρω-
μένην μου ψυχήν, ἐμποίησον ὅπως
τὸν θεῖον καταβρέχω ἐν τοῖς δάκρυσι δά-
κρυσι, Ναὸν σὸν εὐλαβῶς, καὶ τὸν πα-
δῶν μου ῥυπαρόν.

Ἀπειρόγαμε Νύμφη, περιφρούρησον πάντας
τοὺς προστρέχοντας εἰς σέ. καὶ γὰρ εἰ μὴ φρουρήσῃς
τοὺς δούλους σου Παρθένε,

ἀπολλύλαμεν ἅπαντες καὶ ἐγενήθημεν τῶν καταβρώματα δαιμόνων.

Ὁ αὐτός. Ἐπουρανίου βασιλείου.

Κανόνα τῆς πίστεως εἰκόνα ἔμψυχον τῆς πραότητος, σωφροσύνης τε στήλην, καὶ μαρτυρίας ἔμψυχον ἄγαλμα καὶ πάσης ἄλλης ἀρετῆς ἀρχέτυπον ἀνέδειξέ σε Χριστός, Θεόδοτε θαυμ-[illegible] τῇ σῇ.

Ἀνένδοτον ἔτρεφες ἐπιθυμίαν τοῦ ἀναλῦσαι τάχύ, ἐκδημῆσαι τοῦ σώματος καὶ ἐνδημῆσαι πρὸς ὃν ἐπόθησας Χριστόν· διὸ ἐχούσης τοσαύτης αὐθορμήτου(?), πρὸς τοὺς ἀγῶνας [illegible] τοῦ μαρτυρίου [illegible].

Λαμπρύνεται [illegible], ἐν σοὶ καὶ [illegible], καὶ ἐπιγνοὺς τὸν Χριστόν, σὺ δεύτερος Παῦλος. αὐτὸς ἐν γῇ γέγονας [illegible] σαρκί, ἡ Χριστός [illegible] ἐν σοὶ καὶ [illegible], ὅτι σοῦ [illegible] Ἱεράρχα:.

Θεοτοκίον.

Νυμφῶνα πανάχραντον, τῆς τοῦ λόγου σαρκώσεως, καὶ παστάδα καὶ θρόνον, ὀρθοφρονοῦντές σε ὀνομάζομεν.

καί γεγηθότες τῷ τύπῳ σου ψάλλομεν·
εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἄλλος.

Οἱ παῖδες εὐσεβείᾳ συντραφέντες.

Ὡς παῖδες ἐνθέων τοὺς Τυράννους δυσσεβοῦς Προστάγματος ἐκαταφρόνησας, Πυρὸς ἀπειλὴν οὐκ ἐδειλίασας, ἀλλ' ἐν μέσῳ τῶν δεινῶν ὑπάρχων ἔψαλλες. ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Κυρίου εὐσεβείᾳ συντραφεὶς, δυσσεβῶν Προστάγματα ἀθετήσας, Βωμῶν ἑορτὰς μᾶλλον κατύβρισας, καὶ ἐν μέσῳ χαρμονῶν ἑστὼς ὑπέψαλλες. Ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Καὶ ἐν ἀσεβείᾳ συνεσπῆλθον, εὐσεβεῖς γεγόνασι, καὶ κατεφρόνησαν θεῶν, τελετὰς καὶ τὰ σεβάσματα, καὶ ἐνώπιον πολλῶν ἑστῶτες ἔψαλλον. ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Εὐφράνθης ὦ Τρισμάκαρ, τριλαμποῦς Ἐλλάμψεως καταφωτιζόμενος σοφῶς, τοὺς πολλοὺς σὺ καθοδηγήσας, ὡς ἐν μέσῳ

ασεβών εστώτες έψαλλον. Ο των Πατέρων Θε-
ος ευλογητός εί.

## Θεοτοκίον.

Ο Πάλαι τοις προφήταις εν κατόπτρω, ασεβείας δόγματα ενδειξάμενος εκ σου ω Παρθένε καθ' υπόστασιν εγεννήθη τοις ανθρώποις ως ηυδόκησεν. Ο των Πατέρων Θεός ευλογητός εί.

## Καταβασία.

Οι Παίδες ευσεβεία συντραφέντες, δυσσεβούς Προστάγματος καταφρονήσαντες, Πυρός απειλήν ουκ επτοήθησαν. αλλ' εν μέσω της φλογός εστώτες έψαλλον. Ο των Πατέρων Θε-
ος Ευλογητός εί.

## ΩΔΗ Η. Ο Ειρμός.

Τον εν όρη, αγίω δοξασθέντα, και εν βάτω Πυρί τω της αει Παρθένου. Τω Μωυσῆ μυστήριον γνωρίσαντα. Κύριον υμνείτε και υπερυψούτε αυτόν εις τους αιώνας.

Ρῦσαι τότε, Παρθένε Θεοτόκε, τοὺς σοὺς δούλους ἡνίκα μέλλει ὁ υἱός σου, τοῦ κρίναι γένος ἅπαν τὸ ἀνθρώπινον, καὶ διαχωρίσαι, ἀπ' ἀλλήλων ἅμα δικαίους τ' ἀδίκους.

Θαῦμα μέγα, πῶς γαλουχεῖς Παρθένε, τ' Παρθένος ἐδείχθεις Κόρη μετὰ τόκον. ὄντως τὰ σὰ μυστήρια παράδοξα. διὸ προσκυνοῦμεν, καὶ ὑπερυψοῦμεν, τὸν ἄφραστόν σου τόκον.

Ἐμακρύνθην ἐκ σοῦ καὶ ἐβδελύχθην, τοῖς κακοῖς μου ἔργοις. διὸ καὶ ἐγεννήθην, μολυσμοῖς, καὶ χλευασμοῖς τοῖς πονηροῖς. ἀλλὰ μὴ παρίδῃς δέομαι Παρθένε, εἰς τέλος σὸν οἰκέτην.

Ὁ αὐτός.

Ἰσολατραιδίως κάρμινον.

Ἐπὶ τῆς γῆς ἐβίωσας, ὡς οὐράνιος ἄγγελος. ὅθεν ἐκ Θεοῦ, οἰκοδομὴν αἰώνιον καὶ ἀχειροποίητον, οἰκίαν ἔσχες ἐν οὐρανοῖς. ἡ γὰρ τοῦ σκηνοῦ καὶ Προέδρου σου σκήνους, ἐπίγειος οἰκία κατελύθη καιροῦσα, τοῖς φόνοις τοῖς ποικίλοις, σοφὲ τοῦ Μαρτυρίου.

Κεχρυσωμέναις πτέρυξι, νοητῶς πεταζόμενος πράξεως ὁμοῦ καὶ θεωρίας Μόδεστε πρὸς ὕψος ἀνέδραμες, ὑπερνεφὲς αἰθέριον πρὸς ἐπουρανίους καὶ ἐσαύγεις, τὴν κάτω σπαρουμένην καὶ χαμαὶ συρομένην ἐνήδονον κακίαν ὑπερπετάσας σπουδαῖος. Ὁ θαυμαστὸς ἐν μάρτυσι, ἀριστεύσας γενναιοπρόθυμα, καὶ κατευθυνῶν τοῦ δυσμενοῦς τὴν ἔπαρσιν κτηνῶν ὁ ὀξύτατος καὶ εὐεπήκοος ἰατρός. Ὁ περιφανὴς καὶ εὐγενὴς στρατιώτης Χριστοῦ βασιλέως. Τῶν θαυμάτων ἡ βρύσις, Ποιμὴν σιῶν ὁ μέγας Μόδεστος ἀνυμνείσθω.

Θεοτοκίον.

Ξένα πολλάκις γέγονε καὶ παράδοξα τέρατα. Ἀλλ' ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη Δέσποινα, τοιοῦτον τεράστιον, οἷον ἑωράχθη νῦν ἐπὶ σοί. Μόνη γὰρ ἐν πάσαις γενεαῖς ἐγνωρίσθης θηλάζουσα Παρθένος, Παρθενεύουσα μήτηρ, ἀσπόρως συλλαβοῦσα, ἀφράστως τεκοῦσα.

Ἄλλος. Θαύματος ὑπερφυοῦς.

